μὲν κακοποιοὶ πάντοτε ἔσχατοι τάσσονται. πρῶτοι δὲ οἱ τοῦ ὑψώματος κύριοι. εἶτα οἱ τοῦ ∇ εἶτα οἱ τοῦ οἴκου. καὶ ἀκολούθως τὰ ἑξῆς τῇ τάξει τῶν ζῳδίων. πάλιν δὲ ἐφεξῆς οἱ ἀνὰ δύο ἔχοντες οἰκοδεσποτίας προτασσόμενοι τοῦ μίαν ἔχοντος ἐν τῷ αὐτῷ ζῳδίῳ. ὁ μέντοι ♋ . καὶ ὁ ♌ οἶκοι ὄντες ☉ . καὶ ☾ ἐπεὶ οὐ δίδονται τοῖς φωσὶ ὅρια, ἀπονέμονται τοῖς κακοποιοῖς, διὰ τὸ ἐν τῇ τάξει πλεονεκτεῖσθαι, ὁ μὲν ♋ τῷ τοῦ ♂ ὁ δὲ ♌ τῷ τοῦ ♄, ἐν οἷς καὶ ἡ τάξις αὐτοῖς ἡ οἰκεία φυλάσσεται. ἐπὶ δὲ τῆς ποσότητος τῶν ὁρίων, ὡς μὲν μηδενὸς εὑρισκομένου κατὰ δύο τρόπους κυρίου, ἤτοι ἐν αὐτῷ τῷ ζῳδίῳ, ἢ καὶ ἐν τοῖς ἐφεξῆς, μέχρι τεταρτημορίου, τοῖς μὲν ἀγαθοποιοῖς, τουτέστι τῷ τε τοῦ ♃ καὶ τῆς ♀ ἑκάστῳ δίδονται μοῖραι. ζ. τοῖς δὲ κακοποιοῖς τουτέστι τῷ τοῦ ♄ καὶ τῷ τοῦ ♂ ἑκάστῳ μοῖραι. ε. τῷ δὲ τοῦ ☿ ἐπικοίνῳ ὄντι μοῖραι. ς. αἳ συμπληροῦσι τὰς. λ'. * ἐπεὶ δὲ ἔχουσί τινες ἀεὶ δύο λόγους, ὁ γὰρ τῆς ♀ μόνος γίνεται οἰκοδεσπότης τοῦ κατὰ τὸν ♉ καὶ ♑ τριγώνου, τῆς ☾ εἰς τὰ ὅρια μὴ παραλαμβανομένης, προσδίδοται μὲν ἑκάστῳ τῶν οὕτως ἐχόντων αὖτε ἐν αὐτῷ τῷ ζῳδίῳ, αὖτε ἐν τοῖς ἐφεξῆς· μέχρι τεταρτημορίου, μοῖρα μία, οἷς καὶ παράκεινται στιγμαί. ἀφαιροῦνται δὲ αἱ προστιθέμεναι τῆς διπλῆς ἀπὸ τῶν λοιπῶν καὶ μοναχῶν, ὡς ἐπίπολυ δὲ ἀπὸ τοῦ ♄ εἶτα καὶ τοῦ ♃ διὰ τὸ βραδύτερον αὐτῶν τῆς κινήσεως, ἔστι δὲ τούτων τῶν ὁρίων ἡ ἔκθεσις, τοιαύτη.

| | | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ♈. | ♃ | ς | ♀ | η | ☿ | ζ | ♂ | ε | ♄ | δ | ♉. | ♀ | η | ☿ | ζ | ♃ | ζ | ♄* | β | ♂ | ς |
| ♊. | ☿ | ζ | ♃ | ς | ♀ | ζ | ♂ | ς | ♄ | δ | ♋. | ♂ | ς | ♃ | ζ | ☿ | ζ | ♀ | ζ | ♄ | γ |
| *♌. | ♃ | ς | ☿ | ζ | ♄ | ς | ♀ | ς | ♂ | ε | ♍. | ☿ | ζ | ♀ | ς | ♃ | ε | ♄ | ς | ♂ | ς |
| ♎. | ♄ | ς | ♀ | ε | ☿ | ε* | ♃ | η | ♂ | ς | ♏. | ♂ | ς | ♀ | ζ* | ♃ | η | ☿ | ς | ♄ | γ |
| ♐. | ♃ | η | ♀ | ς | ☿ | ε* | ♄ | ς | ♂ | ε | ♑. | ♀ | ς | ☿ | ς | ♃ | ζ* | ♂ | ε | ♄ | ς |
| ♒. | ♄ | ς | ☿ | ς | ♀ | η | ♃ | ε | ♂ | ε | ♓ | ♀ | η | ♃ | ς | ☿ | ς | ♂ | ε | ♄ | ε |

Διεῖλον δέ τινες καὶ εἰς ἔτι τούτων λεπτομερέστερα τὰ τμήματα τῆς οἰκοδεσποτίας, τόπους καὶ μοίρας ὀνομάζοντες. καὶ τόπον μὲν ὑποτιθέμενοι, τὸ τοῦ δωδεκατημορίου δωδεκατημόριον τουτέστι μοίρας β'. ἥμισυ ἀρχόμενοι ἀπὸ τοῦ δωδεκατημορίου καθ' ὃ ἐστὶν ὁ ἀστήρ, καὶ διδόντες αὐτῶν τὴν κυρίαν τοῖς ἐφεξῆς ζῳδίοις. ἄλλοι δὲ καὶ κατὰ ἄλλας τινὰς ἀλόγους τάξεις. μοίραν δὲ ἑκάστῳ πάλιν ἀπ' ἀρχῆς ἑκάστου διδόντες τῶν ἀστέρων ἀκολούθως τῇ τάξει τῶν χαλδαϊκῶν ὁρίων. ταῦτα μὲν οὖν πιθανὸν καὶ οὐ φυσικὸν ἀλλὰ κενόδοξον

δ ἔχοντα